# DUMINICA 2 PASTI

# PARACLISUL INCREDINTARII SF.APOSTOL TOMA

## PARACLISIER-GR



# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## Εις την Ψηλάφησιν του Αγίου Ενδόξου Αποστόλου Θωμά.

### Ο Ιερεύς.

Ευλογητός ο Θεός ημών πάντοτε, νυν και αεί και εις τους αιώνας των αιώνων.

### Ο Αναγνώστης.

Αμήν. Κύριε εισάκουσον...

### Οι ψάλται.

Θεός Κύριος και επέφανεν ημίν...

### Είτα τα παρόντα τροπάρια.

### Ήχος δ’. Ο υψωθείς εν τω Σταυρώ.

Ο την πλευράν τη δεξιά χειρί Σώτερ, ψηλαφηθείς ομού και τύπους των ήλων, τη του Θωμά του θείου Αποστόλου σου, τούτου ταις δεήσεσι, τω λαώ σου

παράσχου, των πταισμάτων άφεσιν, και ειρήνην βαθείαν, από παθών και πόνων χαλεπών, τω σω ελέει, ημάς εκλυτρούμενος.

**Δόξα και νυν (Όμοιον)**

Ταις της Αχράντου σου Μητρός ικεσίαις, και του Θωμά του θεηγόρου σου Μύστου, του σε λαμπρώς τω κόσμω μεγαλύναντος, λύτρωσε τους δούλους σου, από πάσης ανάγκης˙ ότι σοι λατρεύομεν, ως Θεώ και Δεσπότη και της αγάπης άναψον της σης εν ημίν Σώτερ, το πυρ το ουράνιον.

Ο ουρανός άλλος ώφθη, δόξης της σης Κύριε, ότε ο Θωμάς της αχράντου, πλευράς σου ήψατο˙ διο ουρανώσον, ημών τον νουν γεωθέντα, σχέσει τη του χείρονος, τη αγαπήσει σου.

**Δόξα Πατρί...**

Γεωργείν του σου λόγου, δίδου ημίν δύναμιν, σπόρον τον ουράνιον Σώτερ, βίου λαμπρότητι, ταις

παρακλήσεσι, Θωμά του σου Αποστόλου, του παντί τω κόσμω σε, Θεόν κηρύξαντος.

**Και νυν... Θεοτοκίον.**

Ελλαμθείς τη καρδία ότε της σης ήψατο, πίστει Θωμάς πλευράς Λόγε, σκότος διέλυσε, ψυχών ολέθριον˙ διο καμέ πάσης πλάνης, του εχθρού απάλλαξον, του πολεμούντος με.

Διάσωσον Θωμά πρεσβείαις του θείου σου Αποστόλου, επηρείας του χαλεπού κοσμοκράτορος, τους εν τω σω κράτει προσπίπτοντας Πανοικτίρμον.

Επίβλεψον εν ευμενεία...

**Ο Ιερεύς. Αίτησις.**

**Κάθισμα. Ήχος β’. Πρεσβεία θερμή.**

Παθών ως βροτός, τη φύσει ων αθάνατος, ερρύσω ημάς φθοράς τη Αναστάσει σου, και Θωμά τον φίλον σου, της δεινής απιστίας εξήγαγες˙ και νυν

πρεσβείαις αυτού Λυτρωτά, πικρών συμπτωμάτων ημάς λύτρωσαι.

**Ωδή δ'. Εισακήκοα Κύριε...**

**Άγιε Απόστολε πρέσβευε...**

Λαμπρυνόμενος Κύριε, ο Θωμάς τω φέγγει της σης εγέρσεως, ικετεύει σε εκάστοτε, υπέρ των εν πίστει λατρευόντων σοι.

**Άγιε Απόστολε πρέσβευε...**

Ιασαί μου Φιλάνθρωπε, της ψυχής τα πάθη και τα του σώματος, ευπροσδέκτοις παρακλήσεσι, του Θωμά του θείου Αποστόλου σου.

**Δόξα Πατρί...**

Την πλευράν εψηλάφησεν, ο Θωμάς την θείαν σου παντοδύναμε, όθεν βλύζει ταις ψυχαίς ημών, ζωής αϊδίου ύδωρ άφθαρτον.

**Και νυν. Θεοτοκίον.**

Αγαλλίαμα γέγονεν, η μετά οκτώ ημέρας ση έλευση, τω Θωμά και φως αΐδιον˙ διο πάσης λύπης ημάς λύτρωσαι.

**Ωδή ε'. Φώτισον ημάς...**

**Άγιε Απόστολε πρέσβευε...**

Ίδε συμπαθώς της ψυχής μου την ασθένειαν, και απάλλαξόν με Λόγε της φθοράς, ο Θωμάν χαροποιήσας τη εγέρσει σου.

**Άγιε Απόστολε πρέσβευε...**

Σθένος ο Θωμάς, ψηλαφών σε Σώτερ έλαβεν˙ διο σθένωσον καμέ κατά παθών, ίνα πράττω σου το θέλημα το Άγιον.

**Δόξα Πατρί...**

Ήλθες μετ' οκτώ, μαθηταίς ημέρας Κύριε, κεκλεισμένων των θυρών και τον Θωμάν, εβεβαίωσας την έγερσίν σου Δέσποτα.

**Και νυν... Θεοτοκίον.**

Μύρου πληρωθείς, της θεότητός σου Κύριε, ο Θωμάς ως ψηλαφήσας σε πιστώς, δυσωδίαν απιστίας παύει πάντοτε.

**Ωδή στ', Την δέησιν...**

**Άγιε Απόστολε πρέσβευε...**

Αφή σου, Σώτερ τους τύπους των ήλων, του δακτύλου ο Θωμάς ερευνήσας, της σης θεότητος έγνω το κράτος, δι' ου κραταίωσόν άπαντες Κύριε, πατείν την κάραν του εχθρού, και βαδίζειν οδόν την σωτήριον.

**Άγιε Απόστολε πρέσβευε...**

Συν τρόμω και ευλαβεία εβόα, ο Θωμάς˙ Συ μου Θεός και Δεσπότης˙ διο ημάς της των παθών δεσποτείας, και κακουργίας εχθρού του αλάστορος, απάλλαξον Παμβασιλεύ, ως Θεός ελεήμων και εύσλπαγχνος.

**Δόξα Πατρί...**

Συντρίψας την του εχθρού τυραννίδα, τη εγέρσει σου Χριστέ Ζωοδότα, και τω Θωμά ενθείς πίστιν βεβαίαν, τας ικεσίας ημών δέχου Δέσποτα, και δίδου άφεσιν ημίν, ων και καθ' ώραν σφαλλόμεθα Κύριε.

**Και νυν... Θεοτοκίον.**

Ως είδε, και ήψατό σου Οικτίρμον˙ ο Απόστολος Θωμάς ανεβόα˙ Συ μου ο Θεός τε και Κύριος Σώτερ. Άλλ' αυτού θείαις δεήσεσι Δέσποτα, δίδου ειρήνην σταθεράν,τω λαώ σου και βίον γαλήνιον.

Διάσωσον Θωμά πρεσβείαις του θείου σου Αποστόλου, επηρείας του χαλεπού κοσμοκράτορος, τους τω σω κράτει προσπίπτοντας Πανοικτίρμον.

Άχραντε, η δια λόγου τον Λόγον...

**Ο Ιερεύς. Αίτησιν.**

**Ήχος γ'. Τοις των αιμάτων σου...**

Μετά την θείαν σου έγερσιν Κύριε, τοις Μαθηταίς σου επέστης Φιλάνθρωπε, και πίστιν βεβαίαν

ενέθηκας, τω Αποστόλω Θωμά προσελθόντι σοι˙ ου σώσον λιταίς ημάς Δέσποτα.

**Προκείμενον.**

Εις πάσαν την γην εξήλθεν ο φθόγγος αυτού...

Στίχ. Επαίνει Ιερουσαλήμ τον Κύριον...

**Ευαγγέλιον**

**Εκ του κατά Ιωάννην (Ιωάν. κ’. 19-25).**

Ούσης οψίας, τη ημέρα εκείνη, τη μια των Σαββάτων, και των θυρών κεκλεισμένων, όπου ήσαν οι μαθηταί συνηγμένοι δια τον φόβον των Ιουδαίων, ήλθεν ο Ιησούς, και έστη εις το μέσον, και λέγει αυτοίς˙ Ειρήνη υμίν. Και τούτο ειπών, έδειξεν αυτοίς τας χείρας και την πλευράν αυτού. Εχάρησαν ουν οι μαθηταί, ιδόντες τον Κύριον. Είπεν ουν αυτοίς ο Ιησούς πάλιν˙ Ειρήνην υμίν˙ καθώς απέσταλκέ με ο Πατήρ, καγώ πέμπω υμάς. Και τούτο ειπών, ενεφύσησε, και λέγει αυτοίς˙ Λάβετε Πνεύμα Άγιον˙ αν τινών αφήτε τας αμαρτίας, αφίενται αυτοίς, αν

τινών κρατήτε, κεκράτηνται. Θωμάς δε, εις εκ των δώδεκα, ο λεγόμενος Δίδυμος, ουκ ην μετ’ αυτών, ότε ήλθεν ο Ιησούς. Έλεγον ουν αυτώ οι άλλοι μαθηταί. Εωράκαμεν τον Κύριον. Ο δε είπεν αυτοίς˙ Εάν μη ίδω εν ταις χερσίν αυτού τον τύπον των ήλων, και βάλω την χείρά μου εις την πλευράν αυτού, ου μη πιστεύσω. Και μεθ’ ημέρας οκτώ, πάλιν ήσαν έσω οι μαθηταί αυτού και Θωμάς μετ’ αυτών. Έρχεται ο Ιησούς, των θυρών κεκλεισμένων, και έστη εις τον μέσον, και είπεν˙ Ειρήνη υμίν. Είτα λέγει τω Θωμά˙ Φέρε τον δάκτυλόν σου ώδε και ίδε τας χείρας μου, και φέρε την χείρά σου και βάλε εις την πλευράν μου, και μη γίνου άπιστος, αλλά πιστός. Και απεκρίθη Θωμάς και είπεν αυτώ˙ Ο Κύριός μου και ο Θεός μου. Λέγει αυτώ ο Ιησούς˙ Ότι εώρακάς με, πεπίστευκας˙ μακάριοι οι μη ιδόντες και πιστεύσαντες. Πολλά μεν ουν και άλλα σημεία εποίησεν ο Ιησούς, ενώπιον των μαθητών αυτού, α ουκ έστι γεγραμμένα εν τω βιβλίω τούτω. Ταύτα δε

γέγραπται, ίνα πιστεύσητε ότι ο Ιησούς εστίν ο Χριστός, ο υιός του Θεού, και ίνα πιστεύοντες, ζωήν έχητε εν τω ονόματι αυτού.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.

Και νυν... Ταις της Θεοτόκου.

Ταις του Αποστόλου πρεσβείαις Ελεήμον...

Στίχ. Ελέησόν με, ο Θεός...

**Ήχος πλ. β'. Όλην αποθέμενοι.**

Κύριον εκάλει σε, Θεόν τε άμα και Κτίστην, Θωμάς ο Απόστολος, μετά την Ανάστασιν ψηλαφήσας σε˙ ταις αυτού Δέσποτα, ικεσίαις δίδου, των πταισμάτων ημίν άφεσιν, και ζωήν κρείττονα, πάσης επηρείας και θλίψεως, απηλλαγμένην Κύριε, ως αν εναρέτως, βιώσαντες, της σης Βασιλείας γενόμεθα οικτίρμον κοινωνοί, συν τοις Αγίοις δοξάζοντες, την σην αγαθότητα.

Ο Ιερεύς. Σώσον ο Θεός τον λαόν σου...

Κύριε ελέησον ιβ’.

**Ωδή ζ’. Οι εκ της Ιουδαίας...**

**Άγιε Απόστολε πρέσβευε...**

Ζωής ων ταμιούχος, τω Θωμά ανεβόας˙ Ίδε Απόστολε, τους μώλωπας των ήλων, και της πλευράς την τρήσιν˙ αλλά τρώσον Φιλάνθρωπε, τη αγαπήσει τη ση, ημών τας διανοίας.

**Άγιε Απόστολε πρέσβευε...**

Θωμάς κατιδών σε, και αφή πιστωθείς σου την θείαν έγερσιν, εκ λάκκου απιστίας, προς πίστωσιν βεβαίαν, ανεγείρει τους ψάλλοντες˙ ο των Πατέρων ημών, Θεός ευλογητός ει.

**Δόξα Πατρί...**

Ιλασμόν ημίν δίδου, και ψυχών σωτηρίαν και θείον έλεος, Φιλάνθρωπε Οικτίρμον, ο τον Θωμάν τον θείον, χαρμονής πλήσας κρείττονος, ίνα υμνώμεν Χριστέ, την άφραστόν σου δόξαν.

**Και νυν... Θεοτοκίον.**

Σωτηρίας τας πύλας, τω τιμίω σου πάθει ημίν ηνέωξας, εν αις ημάς Οικτίρμον τω φόβω σου τω θείω, καθοδηγήσει εκάστοτε, του θεηγόρου Θωμά, ταις ικεσίαις Σώτερ.

**Ωδή η’. Τον Βασιλέα...**

**Άγιε Απόστολε πρέσβευε...**

Γνώσιν τελείαν, έσχε Θωμάς ως είδε, δι’ ης έκτιλλον ακάνθας αγνωσίας, εκ της διανοίας, ημών Χριστέ Οικτίρμον.

**Άγιε Απόστολε πρέσβευε...**

Εκ της πλευράς σου, Θωμάς επλήσθη τα κρείττω, δι’ ων Κύριε ψυχάς των λατρευτών σου, πλήσον θείου φόβου, προς κτήσιν μετανοίας.

**Δόξα Πατρί...**

Ρώσιν και χάριν, ημίν Θωμά αεί αίτει, ο τον Κύριον χειρί σου ψηλαφήσας, ως μεγίστην έχων, προς τούτον παρρησίαν.

**Και νυν... Θεοτοκίον.**

Άνωθεν δίδου, τοις λατρευταίς σου Οικτίρμον, τα δωρήματα των θείων οικτιρμών σου, ταις ικετηρίαις, Θωμά του Αποστόλου.

**Ωδή θ’. Κυρίως Θεοτόκον...**

**Άγιε Απόστολε πρέσβευε...**

Σαρκώς ημών τα πάθη, νέκρωσον Οικτίρμον, ο τη ταφή σου νεκρώσας τον θάνατον, και τον Θωμάν βεβαιώσας την σην Ανάστασιν.

**Άγιε Απόστολε πρέσβευε...**

Ισχύν έλαβε θείαν, Θωμάς σε ψηλαφήσας, δι’ ης ημάς ενδυνάμωσον Κύριε, τον ισχυρόν εν κακία ελείν πολέμιον.

**Δόξα Πατρί...**

Μεγίστης ευκληρίας, ο Θωμάς μετέσχε, πανευλαβώς ψηλαφήσας σε Δέσποτα, δι' ου μεγίστων κινδύνων ημάς απάλλαξον.

**Δέσποτα Κύριε, ελέησον...**

Ο Κτίστης των απάντων, Λόγε Ζωοδότα, ταις ικεσίαις Θωμά του τρισμάκαρος, και των λοιπών Αποστόλων ημάς ελέησον.

**Δέσποτα Κύριε, ελέησον...**

Υμνούμεν σου την χάριν, Σώτερ Ζωοδότα, ότι ημάς πριν του Άδου ανήγαγες, νυν δε αεί διασώζεις τους προσκυνούντάς σε.

**Μεγαλυνάρια.**

Άξιόν εστίν ως αληθώς, του δοξάζειν σε τον Θεόν Λόγον, τον λύσαντα Άδου τους γηγενείς, και εξαναστήσαντα εκ του τάφου οία Θεόν, και

ψηλαφηθέντα, χειρί Θωμά του θείου, Χριστόν τον Ζωοδότην και πάντων Κύριον.

Μεθ' ημέρας Σώτερ ώφθεις οκτώ, της εγέρσεώς σου, τοις Αγίοις σου Μαθηταίς, και Θωμά τω θείω πλευράν την λογχευθείσαν, και τύπους τους των ήλων, Σώτερ υπέδειξας.

Πίστει ψηλαφήσας σε ο Θωμάς, της εγέρσεώς σου, ανεδείχθη κήρυξ λαμπρός, ου ταις ικεσίαις, Σωτήρ μου Ζωοδότα, μετόχους ημάς δείξον, της σης λαμπρότητος.

Δρόσον αιωνίου όντως ζωής, εκ της λογχονύκτου, και αγίας σου και σεπτής, ο Θωμάς αντλήσας, πλευράς ώ Ζωοδότα, ημάς καταδροσίζει, λόγω της χάριτος.

Χαίρων ανεβόησεν ο Θωμάς, Συ ει Θεός μου, Συ και Κύριος του παντός, ψηλαφών σε Σώτερ, μετά την έγερσίν σου, και πίστιν την βεβαίαν, κόσμω εκήρυξε.

Έστης εν τω μέσω των μαθητών, θυρών κεκλεισμένων, και εβοήσας τω Θωμά˙ Δεύρο και τους

ήλους, ψηλάφησον δακτύλω, Απόστολε και κόσμω, παντί με κήρυξον.

Ρύσαι πάσης θλίψεως και φθοράς, και προς σωτηρίας, καθοδήγει Χριστέ οδοίς, ταις του Αποστόλου, Θωμά ικετηρίαις, Φιλάνθρωπε Σωτήρ μου, τους προσκυνούντάς σε.

Πάσαι των αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι πάντες μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

Τρισάγιον. Δόξα και νυν. Παναγία Τριάς... Κύριε ελέησον, Κύριε ελέησον, Κύριε ελέησον. Δόξα και νυν. Πάτερ ημών...

**Ο Ιερεύς. Ότι σου εστίν η βασιλεία...**

**Οι ψάλται. Αμήν.**

**Απολυτίκιον. Ήχος δ’. Ταχύ προκατάλαβε...**

Ως θείος Απόστολος, Θεολογίας κρουνούς, ενθέως εξήντλησας, εκ λογχονύκτου πλευράς, Χριστού του

Θεού ημών˙ όθεν της ευσεβείας, κατασπείρας τον λόγον, έλαμψας εν Ινδία ως ακτίς ουρανία, Θωμά των Αποστόλων, θείον αγλάισμα.

**Ο Ιερεύς.**

Ελέησον ημάς ο Θεός... Και μνημονεύει...

**Οι Ψάλται. Ήχος β’. Ότε εκ του ξύλου.**

Πίστει προσελθών σοι ο Θωμάς, και προσψηλαφών σε, εν φόβω Θεόν και Κύριον, του παντός σε Δέσποτα, λαμπρώς εκήρυξεν, ου ταις θείαις δεήσεσι, ψυχών σωτηρίαν, και σωμάτων ίασιν και βίον κρείττονα, δίδου τοις πιστοίς λατρευταίς σου, και επηρειών του Βελίαρ, πάντας ασινείς ημάς διάσωζε.

Δέσποινα πρόσδεξαι...

Την πάσαν ελπίδα μου...